καὶ μήτ' ἄλουτος γαυρία σύ, μήτ' ὕδωρ
θαύμαζε, μηδὲ [κο]υρία γενειάδα,
μηδὲ ῥύπωι χιτῶνος ἔντυε χρόα.

**11** Ath. (epit.) 57d *Σιμωνίδης ἐν δευτέρῳ ἰάμβων·*

*οἷόν τε χηνὸς ὤεον Μαιανδρίου.*

**12** Choerob. *can.* i. 267 Hilgard

*σπλάγχν' ἀμπέχοντες αὐτίκ' ἰκτίνου δίκην.*

**13**

*τὸ δ' ἧμιν ἑρπετὸν παρέπτατο*
*τὸ ζωΐων κάκιστον ἔκτηται βίον.*

*Et. Gen./Magn.* et Zonaras s.v. *ζῶιον· . . . "τὸ δ' ἡμῖν ἑρπετὸν παρέπτατο ζώϊον κάκιστον".* Schol. Hom. *Il.* 18. 407 *"τὸ ζώϊον κάκιστον κέκτηται βίον", περὶ τοῦ κανθάρου.*

**14** Galenus in Hp. *epid.* 6. 2. 1 (*CMG* v. 10. 2(2) p. 60); id. in Hp. *π. ἄρθρων*, xviii (1). 411 Kühn

*οὐκ ἄν τις οὕτω δασκίοις ἐν οὔρεσιν*
*ἀνὴρ λέοντ' ἔδεισεν οὐδὲ πάρδαλιν*
*μοῦνος στενυγρῆι συμπεσὼν ἐν ἀτραπῶι.*

**15** Ath. 106d

*θύννοισι τευθίς, κωβιοῖσι κωρίδες.*